# Αγαπητοί εν Χριστώ Αδελφοί.




Τῆς μετανοίας ἄνοιξόν μοι πύλας, ζωοδότα˙* ὀρθρίζει γὰρ τὸ πνεῦμά μου* πρὸς ναὸν τὸν ἅγιόν σου,* ναὸν φέρον τοῦ σώματος* ὅλον ἐσπιλωμένον˙* ἀλλ᾽ ὡς οἰκτίρμων κάθαρον* εὐσπλάγχνῳ σου ἐλέει.

Τῆς σωτηρίας εὔθυνόν μοι τρίβους, Θεοτόκε˙* αἰσχραῖς γὰρ κατερρύπωσα* τὴν ψυχὴν ἁμαρτίαις,* ὡς ῥαθύμως τὸν βίον μου* ὅλον ἐκδαπανήσας˙* ταῖς σαῖς πρεσβείαις ῥῦσαί με* πάσης ἀκαθαρσίας.

Τὰ πλήθη τῶν πεπραγμένων μοι δεινῶν* ἐννοῶν ὁ τάλας,* τρέμω τὴν φοβερὰν ἡμέραν τῆς κρίσεως˙* ἀλλὰ θαρρῶν εἰς τὸ ἔλεος τῆς εὐσπλαγχνίας σου,* ὡς ὁ Δαυῒδ βοῶ σοι˙* Ἐλέησόν με, ὁ Θεός,* κατὰ τὸ μέγα σου ἔλεος.

